Οικουμενικον Πατριαρχειον Ökumenisches Patriarchat

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 29 Νοεμβρίου 2026

Κυριακὴ ιγ΄ Λουκᾶ

Μνήμη τῶν Ἁγίων Μαρτύρων Παραμόνου, Φιλουμένου, Οὐαλερίνου, Φαίδρου καὶ τῶν Ἁγίων Ἐπισκόπων Νικολάου Θεσσαλονίκης, Διονυσίου Κορίνθου καὶ Οὐρβανοῦ Μακεδονίας

Ἑωθινὸν Εὐαγγέλιον Δ΄ (Λκ κδ΄: 1-12)

Κάθισμα. Ἦχος α΄

Τὸν Τάφον Σου Σωτήρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ, τοῦ ὀφθέντος Ἀγγέλου, ἐγένοντο κηρύττοντος, γυναιξὶ τὴν ἀνάστασιν. Σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, Σοὶ προσπίπτομεν, τῷ Ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Καταβασίαι Χριστουγέννων. Ἦχος α΄

Ὠδὴ α΄

Χριστὸς γεννᾶται, δοξάσατε, Χριστὸς ἐξ οὐρανῶν, ἀπαντήσατε, Χριστὸς ἐπὶ γῆς, ὑψώθητε, ᾄσατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ, καὶ ἐν εὐφροσύνῃ, ἀνυμνήσατε λαοί, ὅτι δεδόξασται.

Ὠδὴ γ΄

Τῷ πρὸ τῶν αἰώνων, ἐκ Πατρὸς γεννηθέντι ἀῤῥεύστως Υἱῷ, καὶ ἐπ' ἐσχάτων ἐκ Παρθένου, σαρκωθέντι ἀσπόρως, Χριστῷ τῷ Θεῷ βοήσωμεν· Ὁ ἀνυψώσας τὸ κέρας ἡμῶν, Ἅγιος εἶ Κύριε.

Ὠδὴ δ΄

Ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαί, καὶ ἄνθος ἐξ αὐτῆς Χριστέ, ἐκ τῆς Παρθένου νεβλάστησας, ἐξ ὄρους ὁ αἰνετός, κατασκίου δασέος, ἦλθες σαρκωθεὶς ἐξ

Zu den Quellen

Sonntag, 29. November 2026

13. Lukassonntag

Gedächtnis der heiligen Märtyrer Paramonus, Philoumenus, Valerinus und Phaidrus sowie der heiligen Bischöfe Nikolaos von Thessaloniki, Dionysios von Korinth und Urbanos von Makedonien.

Morgenevangelium IV (Lk 24,1–12)

Kathismata. Erster Ton

Als die Soldaten, Erlöser, die Dein Grab bewachten, durch das strahlende Lichte des erschienenen Engels wie tot wurden, verkündete Er den Frauen die Auferstehung. Dich preisen wir, den Vernichter der Vergänglichkeit, vor Dir fallen wir nieder, dem aus dem Grab Erstandenen und unserem einzigen Gott.

Katabasiai von Weihnachten. Erster Ton

Erste Ode

Christus wird geboren, verherrlicht Ihn! Christus steigt herab vom Himmel, eilt Ihm entgegen! Christus kommt auf die Erde, erhöht Ihn! Die ganze Erde singe dem Herrn und in Heiterkeit lobsingt Ihm ihr Völker, denn Er sei gepriesen!

Dritte Ode

Dem vorewiglichen, aus dem Vater unaussprechlich geborenen Sohn und den in der Endzeit samenlos aus der Jungfrau Fleischgewordenen – Christus, Gott, wollen wir rufen: Der Du unsere Macht erhöht hast, heilig bist Du, Herr!

Vierte Ode

Reis aus der Wurzel Jesses, Du bist der junge Trieb, Christus, erblüht aus der Jungfrau. Vom schattig bewaldeten Berge her Besungener, Du bist gekommen, um Fleisch zu werden aus jener, die

πειράνδρου, ὁ ἄϋλος καὶ Θεός, Δόξα τῇ δυνάμει Σου, Κύριε.

Ὠδὴ ε΄

Θεὸς ὢν εἰρήνης, Πατὴρ οἰκτιρμῶν, τῆς μεγάλης Βουλῆς Σου τὸν Ἄγγελον, εἰρήνην παρεχόμενον, ἀπέστειλας ἡμῖν· ὅθεν θεογνωσίας, πρὸς φῶς ὁδηγηθέντες, ἐκ νυκτὸς ὀρθρίζοντες, δοξολογοῦμέν Σε, Φιλάνθρωπε.

Ὠδὴ ς΄

Σπλάγχνων Ἰωνᾶν, ἔμβρυον ἀπήμεσεν, ἐνάλιος θήρ, οἷον ἐδέξατο, τῇ Παρθένῳ δέ, ἐνοικήσας ὁ Λόγος καὶ σάρκα λαβών, διελήλυθε φυλάξας ἀδιάφθορον· ἧς γάρ, οὐχ ὑπέστη ῥεύσεως, τὴν τεκοῦσαν, κατέσχεν ἀπήμαντον.

Ὠδὴ ζ΄

Οἱ Παῖδες εὐσεβείᾳ συντραφέντες, δυσσεβοῦς προστάγματος καταφρονήσαντες, πυρὸς ἀπειλὴν οὐκ ἐπτοήθησαν, ἀλλ' ἐν μέσῳ τῆς φλογὸς ἑστῶτες ἔψαλλον, ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄

Θαύματος ὑπερφυοῦς ἡ δροσοβόλος, ἐξεικόνισε κάμινος τύπον· οὐ γὰρ οὓς ἐδέξατο φλέγει Νέους, ὡς οὐδὲ πῦρ τῆς Θεότητος, Παρθένου ἣν ὑπέδυ νηδύν· διὸ ἀνυμνοῦντες ἀναμέλψωμεν· Εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄

Μυστήριον ξένον, ὁρῶ καὶ παράδοξον· οὐρανὸν τὸ Σπήλαιον, θρόνον Χερουβικόν, τὴν Παρθένον, τὴν φάτνην χωρίον, ἐν ᾧ ἀνεκλίθη ὁ ἀχώρητος, Χριστὸς ὁ Θεός, ὃν ἀνυμνοῦντες μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ἦχος β΄

Ταῖς ἀρεταῖς ἀστράψαντες, ἴδωμεν ἑστῶτες ἐν ζωηφόρῳ μνήματι, ἄνδρας ἐν ἀστραπτούσαις, ἐσθήσεσι Μυροφόροις, κλινούσαις εἰς γῆν ὄψιν· τοῦ οὐρανοῦ δεσπόζοντος, ἔγερσιν διδαχθῶμεν, καὶ πρὸς Ζωήν, ἐν μνημείῳ δράμωμεν σὺν τῷ Πέτρῳ· καὶ τὸ πραχθὲν θαυμάσαντες, μείνωμεν Χριστὸν βλέψαι.

keinen Mann kannte, Du Unstofflicher und Gott. Ehre sei Deiner Macht, Herr.

Fünfte Ode

Du bist ein Gott des Friedens und der Vater der Barmherzigkeit und so schicktest Du Den Engel Deines großen Ratschlusses, uns Frieden zu bringen. Von Ihm geleitet hin zum Glanz der Gotteserkenntnis, erwachen wir frühmorgens aus der Nacht und preisen Dich, Du Menschenfreund.

Sechste Ode

Aus seinem Innern spie das Meerestier Jona wie neugeboren und unversehrt aus; der Logos wohnte in der Jungfrau und nahm Fleisch an, Er ging hervor und bewahrte sie unversehrt. Wie Er keine Verwesung erlitt, so bewahrte Er auch die Ihn Gebärende ohne Schaden.

Siebte Ode

Die Jünglinge, in Frömmigkeit erzogen, widersetzten sich dem gottlosen Befehl und fürchteten nicht die drohende Feuersglut, sondern inmitten des Feuers standen sie und sangen: Gepriesen sei der Gott unserer Väter!

Achte Ode

Des übernatürlichen Wunders ein Bild war der tauspendende Ofen, denn die Jünglinge verbrannte er nicht, wie auch nicht das Feuer der Gottheit den Schoß der Jungfrau, worin Sie eintrat. Die ganze Schöpfung preise den Herrn, und erhebe Ihn hoch in alle Ewigkeit.

Neunte Ode

Fremdartig und unfassbar ist das Mysterium, das ich sehe! Die Höhle als Himmel, die Jungfrau als Thron der Cherubim, die Krippe umfasst den Unfassbaren, Christus, Gott, den wir preisen und erheben!

Exaposteilarion. Zweiter Ton

Von Tugenden widerstrahlend wollen wir am lebenspendenden Grabmal die Männer in hell strahlenden Gewändern sehen bei den Salbölträgerinnen, die zur Erde schauend von der Erweckung des Herrschers über den Himmel erfahren, und mit dem Petrus wollen wir zum Leben im Grab eilen, und über das Geschehene staunend bleiben, um Christus zu schauen.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος α΄

Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων, καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν Σου σῶμα, ἀνέστης τριήμερος Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν. Διὰ τοῦτο αἱ Δυνάμεις τῶν οὐρανῶν ἐβόων Σοι Ζωοδότα· Δόξα τῇ Ἀναστάσει Σου Χριστέ, δόξα τῇ Βασιλείᾳ Σου, δόξα τῇ Οἰκονομίᾳ Σου, μόνε Φιλάνθρωπε.

Ἀπολυτίκιον τοῦ Ναοῦ. Ἦχος δ΄

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Κοντάκιον. Ἦχος γ΄

Ἡ Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

Προκείμενον. Ἦχος α΄

Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾽ ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

Στίχ. Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.

Ἀποστολικὸν ἀνάγνωσμα (Ἐφ. ε΄: 8 – 19)

Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε· — ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ· — δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ. καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῇ γινόμενα ὑπ᾽ αὐτῶν αἰσχρόν ἐστι καὶ λέγειν· τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον φῶς ἐστι. διὸ λέγει· ἔγειρε ὁ καθεύδων καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός. Βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε, μὴ ὡς ἄσοφοι,

Auferstehungsapolytikion. Erster Ton

Versiegelt war der Stein von den Juden und Soldaten bewachten Deinen makellosen Leib. Erstanden bist Du am dritten Tag, Erlöser und hast der Welt das Leben geschenkt. Darum preisen Dich die himmlischen Mächte, Du Lebensspender: Ehre sei Deiner Auferstehung, Christus, Ehre Deinem Reiche, Ehre Deinem Heilsplan, einzig Menschenliebender.

Apolytikion der Kirche. Vierter Ton

Befreier der Gefangenen und Beschützer der Armen, Arzt der Kranken und Verteidiger der Herrschenden, du Träger des Siegeszeichens und Großmärtyrer Georg, bitte Christus, Gott, unsere Seelen zu erretten.

Kontakion. Dritter Ton

Die Jungfrau kommt heute, den vorewigen Logos in der Höhle auf unaussprechliche Weise zu gebären. Freue dich, Erdkreis, da du dies vernimmst, preise mit den Engeln und den Hirten den aus freiem Willen Erscheinenden, das neue Kind, Gott vor aller Ewigkeit.

Prokeimenon. Erster Ton

Dein Erbarmen, Herr, komme auf uns herab, denn wir haben auf Dich gehofft.

Vers: Jauchzet, ihr Gerechten, im Herrn. Den Redlichen ziemt der Lobgesang.

Apostellesung (Eph 5,8–19)

Brüder, einst wart ihr Finsternis, jetzt aber seid ihr Licht im Herrn. Lebt als Kinder des Lichts! Denn das Licht bringt lauter Güte, Gerechtigkeit und Wahrheit hervor. Prüft, was dem Herrn gefällt, und habt nichts gemein mit den Werken der Finsternis, die keine Frucht bringen, deckt sie vielmehr auf! Denn von dem, was sie heimlich tun, auch nur zu reden, ist schändlich. Alles, was aufgedeckt ist, wird vom Licht erleuchtet. Denn alles Erleuchtete ist Licht. Deshalb heißt es: Wach auf, du Schläfer, und steh auf von den Toten und Christus wird dein Licht sein. Achtet also sorgfältig darauf, wie ihr euer Leben führt, nicht wie Toren, sondern

ἀλλ᾽ ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι. διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί τὸ θέλημα τοῦ Κυρίου. καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία, ἀλλὰ πληροῦσθε ἐν Πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Εὐαγγέλιον (Λκ ιη΄: 18–27)

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τὶς προσῆλθε τῷ Ἰησοῦ πειράζων Αὐτὸν καὶ λέγων· Διδάσκαλε ἀγαθέ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω; εἶπε δὲ αὐτῷ ὁ Ἰησοῦς· Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς, ὁ Θεός. Τὰς ἐντολὰς οἶδας· Μὴ μοιχεύσῃς, μὴ φονεύσῃς, μὴ κλέψῃς, μὴ ψευδομαρτυρήσῃς, τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου. Ὁ δὲ εἶπε· Ταῦτα πάντα ἐφυλαξάμην ἐκ νεότητός μου. Ἀκούσας δὲ ταῦτα ὁ Ἰησοῦς εἶπεν αὐτῷ· Ἔτι ἕν σοι λείπει· πάντα ὅσα ἔχεις πώλησον καὶ διάδος πτωχοῖς, καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ, καὶ δεῦρο ἀκολούθει μοι. Ὁ δὲ ἀκούσας ταῦτα περίλυπος ἐγένετο· ἦν γὰρ πλούσιος σφόδρα. Ἰδὼν δὲ αὐτὸν ὁ Ἰησοῦς περίλυπον γενόμενον εἶπε· Πῶς δυσκόλως οἱ τὰ χρήματα ἔχοντες εἰσελεύσονται εἰς τὴν βασιλείαν τοῦ Θεοῦ! Εὐκοπώτερον γάρ ἐστι κάμηλον διὰ τρυμαλιᾶς ραφίδος εἰσελθεῖν ἢ πλούσιον εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν. Εἶπον δὲ οἱ ἀκούσαντες· Καὶ τίς δύναται σωθῆναι; ὁ δὲ εἶπε· Τὰ ἀδύνατα παρὰ ἀνθρώποις δυνατὰ παρὰ τῷ Θεῷ ἐστιν.

wie Kluge! Nutzt die Zeit, denn die Tage sind böse. Darum seid nicht unverständig, sondern begreift, was der Wille des Herrn ist! Berauscht euch nicht mit Wein – das macht zügellos –, sondern lasst euch vom Geist erfüllen! Lasst in eurer Mitte Psalmen, Hymnen und geistliche Lieder erklingen, singt und jubelt aus vollem Herzen dem Herrn!

Evangelium (Lk 18,18–27)

In jener Zeit wollte ein Mensch Jesus versuchen und fragte Ihn: Guter Meister, was muss ich tun, um das ewige Leben zu erben? Jesus antwortete ihm: Warum nennst du mich gut? Niemand ist gut außer der eine Gott. Du kennst doch die Gebote: Du sollst nicht die Ehe brechen, du sollst nicht töten, du sollst nicht stehlen, du sollst nicht falsch aussagen; ehre deinen Vater und deine Mutter! Er erwiderte: Alle diese Gebote habe ich von Jugendan befolgt. Als Jesus das hörte, sagte Er ihm: Eines fehlt dir noch: Verkauf alles, was du hast, und verteil es an die Armen und du wirst einen Schatz im Himmel haben; dann komm und folge mir nach! Der Mann aber wurde sehr traurig, als er das hörte; denn er war überaus reich. Jesus sah, dass er sehr traurig geworden war, und sagte: Wie schwer ist es für Menschen, die viel besitzen, in das Reich Gottes zu kommen! Denn leichter geht ein Kamel durch ein Nadelöhr, als dass ein Reicher in das Reich Gottes gelangt. Die Leute, die das hörten, fragten: Wer kann dann noch gerettet werden? Er erwiderte: Was für Menschen unmöglich ist, ist für Gott möglich.

Ἡ Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
https://www.metropolisvonaustria.at
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23.06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW